M11/2/GREEK/HP1/ENG/TZ0/XX

22112951

International Baccalaureate®
Baccalauréat International
Bachillerato Internacional

**CLASSICAL GREEK**
**HIGHER LEVEL**
**PAPER 1**

Monday 16 May 2011 (afternoon)

1 hour 30 minutes

Candidate session number

| 0 | 0 | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|

INSTRUCTIONS TO CANDIDATES

- Write your session number in the boxes above.
- Do not open this examination paper until instructed to do so.
- Answer the question in the space provided.
- The use of dictionaries is permitted for this paper.

2211-2951

3 pages

© International Baccalaureate Organization 2011

https://xtremepape.rs/

*Translate into English the section of the following passage indicated between the asterisks. A translation of the rest of the passage appears on the facing page.*

**1. An uninvited guest gatecrashes a party.**

ὁ οὖν Καλλίας ἀκούσας ταῦτα εἶπεν· "ἀλλὰ μέντοι, ὦ ἄνδρες, αἰσχρὸν στέγης γε φθονῆσαι· εἰσίτω οὖν." καὶ ἅμα ἀπέβλεψεν εἰς τὸν Αὐτόλυκον, δῆλον ὅτι ἐπισκοπῶν τί ἐκείνῳ δόξειε τὸ σκῶμμα εἶναι.

❋ ὁ δὲ στὰς ἐπὶ τῷ ἀνδρῶνι ἔνθα τὸ δεῖπνον ἦν εἶπεν· "ὅτι μὲν γελωτοποιός εἰμι ἴστε πάντες· ἥκω δὲ προθύμως νομίσας γελοιότερον εἶναι τὸ ἄκλητον ἢ τὸ κεκλημένον ἐλθεῖν ἐπὶ τὸ δεῖπνον." "κατακλίνου τοίνυν," ἔφη ὁ Καλλίας. "καὶ γὰρ οἱ παρόντες σπουδῆς μέν, ὡς ὁρᾷς, μεστοί, γέλωτος δὲ ἴσως ἐνδεέστεροι."

δειπνούντων δὲ αὐτῶν ὁ Φίλιππος γελοῖόν τι εὐθὺς ἐπεχείρει λέγειν, ἵνα δὴ ἐπιτελοίη ὧνπερ ἕνεκα ἐκαλεῖτο ἑκάστοτε ἐπὶ τὰ δεῖπνα. ὡς δ᾽ οὐκ ἐκίνησε γέλωτα, τότε μὲν ἀχθεσθεὶς φανερὸς ἐγένετο. αὖθις δ᾽ ὀλίγον ὕστερον ἄλλο τι γελοῖον ἐβούλετο λέγειν. ὡς δὲ οὐδὲ τότε ἐγέλασαν ἐπ᾽ αὐτῷ, ἐν τῷ μεταξὺ παυσάμενος τοῦ δείπνου συγκαλυψάμενος κατέκειτο.

καὶ ὁ Καλλίας, "τί τοῦτ᾽," ἔφη, "ὦ Φίλιππε; ἀλλ᾽ ἢ ὀδύνη σε εἴληφε;" ❋

καὶ ὃς ἀναστενάξας εἶπε· ναὶ μὰ Δί᾽, ἔφη, ὦ Καλλία, μεγάλη γε· ἐπεὶ γὰρ γέλως ἐξ ἀνθρώπων ἀπόλωλεν, ἔρρει τὰ ἐμὰ πράγματα. πρόσθεν μὲν γὰρ τούτου ἕνεκα ἐκαλούμην ἐπὶ τὰ δεῖπνα, ἵνα εὐφραίνοιντο οἱ συνόντες δι᾽ ἐμὲ γελῶντες· νῦν δὲ τίνος ἕνεκα καὶ καλεῖ μέ τις;

Xenophon *Symposium* 1.12–15



https://xtremepape.rs/

Hearing this, Callias said, "Well, gentlemen, we cannot decently begrudge Philip at the least the shelter of our roof; so let him come in". With the words he cast a glance at Autolycus, obviously trying to make out what he had thought of the pleasantry.

✱ . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . ✱

Philip replied with a groan: yes, Callias, by Zeus, with a severe one; for since laughter has perished from the world, my business is ruined. For in times past, the reason why I got invitations to dinner was that I might stir up laughter among the guests and make them merry; but now, what will induce any one to invite me?

| Total marks | | |
|---|---|---|
| | | |



https://xtremepape.rs/